[illegible]

ιβ Ἐν τοῖς ἀμβλυγωνίοις τριγώνοις τὸ ἀπὸ τῆς τὴν ἀμβλεῖαν γωνίαν ὑποτεινούσης πλευρᾶς τετράγωνον. μεῖζόν ἐστι τῶν ἀπὸ τῶν τὴν ἀμβλεῖαν γωνίαν περιεχουσῶν πλευρῶν τετραγώνων. τῷ περιεχομένῳ δὶς ὑπό τε μιᾶς τῶν περὶ τὴν ἀμβλεῖαν γωνίαν ἐφ' ἣν ἡ κάθετος πίπτει. καὶ τῆς ἀπολαμβανομένης ἐκτὸς ὑπὸ τῆς καθέτου πρὸς τῇ ἀμβλείᾳ γωνίᾳ. Ἔστω ἀμβλυγώνιον τρίγωνον τὸ ΑΒΓ. ἀμβλεῖαν ἔχον τὴν ὑπὸ ΒΑΓ. καὶ ἤχθω ἀπὸ τοῦ Β σημείου ἐπὶ τὴν ΓΑ ἐκβληθεῖσαν κάθετος ἡ ΒΔ. λέγω ὅτι τὸ ἀπὸ τῆς ΒΓ τετράγωνον. μεῖζόν ἐστι τῶν ἀπὸ τῶν ΒΑ ΑΓ τετραγώνων, τῷ δὶς ὑπὸ ΓΑ ΑΔ περιεχομένῳ ὀρθογωνίῳ. ἐπεὶ γὰρ εὐθεῖα ἡ ΓΔ τέτμηται ὡς ἔτυχεν κατὰ τὸ Α σημεῖον. τὸ ἄρα ἀπὸ τῆς ΔΓ ἴσον ἐστὶ τοῖς ἀπὸ τῶν ΓΑ ΑΔ τετραγώνοις καὶ τῷ δὶς ὑπὸ τῶν ΓΑ ΑΔ περιεχομένῳ ὀρθογωνίῳ. κοινὸν προσκείσθω τὸ ἀπὸ τῆς ΔΒ. τὰ ἄρα ἀπὸ τῶν ΓΔ ΔΒ ἴσα ἐστὶ τοῖς τε ἀπὸ τῶν ΓΑ ΑΔ ΔΒ καὶ τῷ δὶς ὑπὸ τῶν ΓΑ ΑΔ περιεχομένῳ ὀρθογωνίῳ. ἀλλὰ τοῖς μὲν ἀπὸ τῶν ΓΔ ΔΒ ἴσον ἐστὶ τὸ ἀπὸ τῆς ΓΒ. ὀρθὴ γὰρ ἡ πρὸς τῷ Δ γωνία. τοῖς δὲ ἀπὸ τῶν ΑΔ ΔΒ ἴσον τὸ ἀπὸ τῆς ΑΒ. τὸ ἄρα ἀπὸ τῆς ΓΒ τετράγωνον ἴσον ἐστὶ τοῖς τε ἀπὸ τῶν ΓΑ ΑΒ τετραγώνοις καὶ τῷ δὶς ὑπὸ τῶν ΓΑ ΑΔ περιεχομένῳ ὀρθογωνίῳ. ὥστε τὸ ἀπὸ τῆς ΓΒ τετράγωνον. τῶν ἀπὸ τῶν ΓΑ ΑΒ τετραγώνων μεῖζόν ἐστι τῷ δὶς ὑπὸ τῶν ΓΑ ΑΔ περιεχομένῳ ὀρθογωνίῳ. ἐν ἄρα τοῖς ἀμβλυγωνίοις τριγώνοις τὸ ἀπὸ τῆς τὴν ἀμβλεῖαν γωνίαν ὑποτεινούσης πλευρᾶς τετράγωνον. μεῖζόν ἐστι τῶν ἀπὸ τῶν τὴν ἀμβλεῖαν γωνίαν περιεχουσῶν πλευρῶν τετραγώνων. τῷ περιεχομένῳ δὶς ὑπό τε μιᾶς τῶν περὶ τὴν ἀμβλεῖαν γωνίαν ἐφ' ἣν ἡ κάθετος πίπτει. καὶ τῆς ἀπολαμβανομένης ἐκτὸς ὑπὸ τῆς καθέτου πρὸς τῇ ἀμβλείᾳ γωνίᾳ. ὅπερ ἔδει δεῖξαι:-





ιγ Ἐν τοῖς ὀξυγωνίοις τριγώνοις τὸ ἀπὸ τῆς τὴν ὀξεῖαν γωνίαν ὑποτεινούσης πλευρᾶς τετράγωνον. ἔλαττόν ἐστι τῶν ἀπὸ τῶν τὴν ὀξεῖαν γωνίαν περιεχουσῶν πλευρῶν τετραγώνων. τῷ περιεχομένῳ δὶς ὑπό τε μιᾶς τῶν περὶ τὴν ὀξεῖαν γωνίαν ἐφ' ἣν ἡ κάθετος πίπτει. καὶ τῆς ἀπολαμβανομένης ἐντὸς ὑπὸ τῆς καθέτου πρὸς τῇ ὀξείᾳ γωνίᾳ. Ἔστω ὀξυγώνιον τρίγωνον τὸ ΑΒΓ. ὀξεῖαν ἔχον τὴν πρὸς τῷ Β γωνίαν. καὶ ἤχθω ἀπὸ τοῦ Α σημείου ἐπὶ τὴν ΒΓ κάθετος ἡ ΑΔ. λέγω ὅτι τὸ ἀπὸ τῆς ΑΓ τετράγωνον. ἔλαττόν ἐστι τῶν ἀπὸ ΓΒ ΒΑ τετραγώνων. τῷ δὶς ὑπὸ τῶν ΓΒ ΒΔ περιεχομένῳ ὀρθογωνίῳ. ἐπεὶ γὰρ εὐθεῖα ἡ ΓΒ τέτμηται ὡς ἔτυχεν κατὰ τὸ Δ. τὰ ἄρα ἀπὸ τῶν ΓΒ ΒΔ τετράγωνα. ἴσα ἐστὶ τῷ τε δὶς ὑπὸ τῶν ΓΒ ΒΔ περιεχομένῳ ὀρθογωνίῳ, καὶ τῷ ἀπὸ τῆς ΔΓ τετραγώνῳ. κοινὸν προσκείσθω τὸ ἀπὸ τῆς ΔΑ τετράγωνον



42

EUCLID *Elementa* BYZANTINE, 888 THE BODLEIAN LIBRARY Octavo